οὔτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω·
οὐδ᾽ αὖτε Γοργείοισιν εἰκάσω τύποις,
οὐδ᾽ αὖ καταπτέροισιν Ἁρπυίαις κόραις[1]).
εἶδον[2]) γάρ αὐτὰς Φινέως γεγραμμένας
δεῖπνον φερούσας· ἄπτεροί γε μὴν ἰδεῖν
αὗται μέλαιναί[3]) τ᾽, ἐς τὸ πᾶν βδελύκτροποι·
ῥέγκουσι δ᾽ οὐ πλατοῖσι[4]) φυσιάμασιν,
ἐκ δ᾽ ὀμμάτων λείβουσι δυσφιλῆ λίβα[5])·
καὶ κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα
φέρειν δίκαιος οὔτ᾽ ἐς ἀνθρώπων στέγας.
τὸ φῦλον οὐκ ὄπωπα τῆσδ᾽ ὁμιλίας,
οὐδ᾽ ἥτις αἶα τοῦτ᾽ ἐπεύχεται γένος
τρέφουσ᾽ ἀνατὶ[6]) μὴ μεταστένειν πόνων.
τἀντεῦθεν[7]) ἤδη τῶνδε δεσπότῃ δόμων
αὐτῷ μελέσθω Λοξίᾳ μεγασθενεῖ.
ἰατρόμαντις δ᾽ ἐστὶ καὶ τερασκόπος,
καὶ τοῖσιν ἄλλοις δωμάτων καθάρσιος.

ΟΡΕΣΤΗΣ.

* * * * * * * * * * * * * * * * *
* * * * * * * * * * * * * * * * *
* * * * * * * * * * * * * * * * *
* * * * * * * * * * * * * * * * *

ΑΠΟΛΛΩΝ.

Οὔτοι προδώσω, διὰ τέλους δέ[8]) σοι φύλαξ,
ἐγγὺς παρεστὼς σοι πρόσω τ᾽ ἀποστατῶν,
ἐχθροῖσι τοῖς σοῖς οὐ γενήσομαι πέπων.

[1]) V. 50. Dieser Vers fehlt in den codd. u. ist von uns aus den Schol. ergänzt worden.

[2]) V. 51. Gew. εἶδόν ποτ᾽ ἤδη. S. Schol.

[3]) V. 53. Gew. μέλαιναι δ᾽ und Var. βδελύτροποι.

[4]) V. 54. codd. πλαστοῖσι.

[5]) V. 55. codd. βίαν und δία. Burges besserte.

[6]) V. 60. codd. ἀνατεί.

[7]) V. 61. Var. τἀντεῦθε μὲν οὖν.